# ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ: ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ

**Διδαγμένο κείμενο**

**᾿Αριστοτέλους *᾿Ηθικά Νικομάχεια* (Β6, 4-10)**

Ἐν παντὶ δὴ συνεχεῖ καὶ διαιρετῷ ἔστι λαβεῖν τὸ μὲν πλεῖον τὸ δ’ ἔλαττον τὸ δ’ ἴσον, καὶ ταῦτα ἢ κατ’ αὐτὸ τὸ πρᾶγμα ἢ πρὸς ἡμᾶς... Λέγω δὲ τοῦ μὲν πράγματος μέσον τὸ ἴσον ἀπέχον ἀφ’ ἑκατέρου τῶν ἄκρων, ὅπερ ἐστὶν ἓν καὶ τὸ αὐτὸ πᾶσιν, πρὸς ἡμᾶς δὲ ὃ μήτε πλεονάζει μήτε ἐλλείπει· τοῦτο δ’ οὐχ ἕν, οὐδὲ ταὐτὸν πᾶσιν. Οἷον εἰ τὰ δέκα πολλὰ τὰ δὲ δύο ὀλίγα, τὰ ἓξ μέσα λαμβάνουσι κατὰ τὸ πρᾶγμα· ἴσῳ γὰρ ὑπερέχει τε καὶ ὑπερέχεται· τοῦτο δὲ μέσον ἐστὶ κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. Τὸ δὲ πρὸς ἡμᾶς οὐχ οὕτω ληπτέον· οὐ γὰρ εἴ τῳ δέκα μναῖ φαγεῖν πολὺ δύο δὲ ὀλίγον, ὁ ἀλείπτης ἓξ μνᾶς προστάξει· ἔστι γὰρ ἴσως καὶ τοῦτο πολὺ τῷ ληψομένῳ ἢ ὀλίγον· Μίλωνι μὲν γὰρ ὀλίγον, τῷ δὲ ἀρχομένῳ τῶν γυμνασίων πολύ. Ὁμοίως ἐπὶ δρόμου καὶ πάλης. Οὕτω δὴ πᾶς ἐπιστήμων τὴν ὑπερβολὴν μὲν καὶ τὴν ἔλλειψιν φεύγει, τὸ δὲ μέσον ζητεῖ καὶ τοῦθ’ αἱρεῖται, μέσον δὲ οὐ τὸ τοῦ πράγματος ἀλλὰ τὸ πρὸς ἡμᾶς.

Εἰ δὴ πᾶσα ἐπιστήμη οὕτω τὸ ἔργον εὖ ἐπιτελεῖ, πρὸς τὸ μέσον βλέπουσα καὶ εἰς τοῦτο ἄγουσα τὰ ἔργα (ὅθεν εἰώθασιν ἐπιλέγειν τοῖς εὖ ἔχουσιν ἔργοις ὅτι οὔτ’ ἀφελεῖν ἔστιν οὔτε προσθεῖναι, ὡς τῆς μὲν ὑπερβολῆς καὶ τῆς ἐλλείψεως φθειρούσης τὸ εὖ, τῆς δὲ μεσότητος σῳζούσης, οἱ δ’ ἀγαθοὶ τεχνῖται, ὡς λέγομεν, πρὸς τοῦτο βλέποντες ἐργάζονται), ἡ δ’ ἀρετὴ πάσης τέχνης ἀκριβεστέρα καὶ ἀμείνων ἐστὶν ὥσπερ καὶ ἡ φύσις, τοῦ μέσου ἂν εἴη στοχαστική. Λέγω δὲ τὴν ἠθικήν· αὕτη γάρ ἐστι περὶ πάθη καὶ πράξεις, ἐν δὲ τούτοις ἔστιν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον.

**Α.** Από το κείμενο που σας δίνεται να μεταφράσετε στο τετράδιό σας το απόσπασμα: "**Οὕτω δὴ πᾶς ἐπιστήμων ... καὶ ἔλλειψις καὶ τὸ μέσον**". Μονάδες 10

**Β.** Να γράψετε στο τετράδιό σας τις απαντήσεις των παρακάτω ερωτήσεων:

**Β1."Ἐν παντὶ δὴ συνεχεῖ...οὐ τὸ τοῦ πράγματος ἀλλὰ τὸ πρὸς ἡμᾶς":** Με ποια κριτήρια είναι δυνατός, κατά το χωρίο αυτό, ο καθορισμός του "μέσου" και ποια είναι τα ιδιαίτερα χαρακτηριστικά της μεσότητας, ανάλογα με το κριτήριο καθορισμού της; Μονάδες 15

**Β2.Τέχνη - ἀρετή - φύσις**: Ποιο κοινό χαρακτηριστικό γνώρισμα διακρίνει ο Αριστοτέλης στις τρεις αυτές έννοιες, σε ποια από τις τρεις δίνει το προβάδισμα και γιατί, κατά τη γνώμη σας, της δίνει το προβάδισμα αυτό; Μονάδες 15

**Β3.**Ποια φιλοσοφική και συγγραφική δραστηριότητα ανέπτυξε ο Αριστοτέλης κατά την περίοδο στην οποία ανήκουν τα "Ηθικά Νικομάχεια"; Μονάδες 10

**Β4.** Να σχηματίσετε ένα ομόρριζο ουσιαστικό (απλό ή σύνθετο) της αρχαίας ελληνικής για καθέναν από τους παρακάτω ρηματικούς τύπους, χρησιμοποιώντας την παραγωγική κατάληξη που σας δίνεται:

λαβεῖν : -**μα**
ἄγουσα : -**ή**
εἰώθασιν : -**ος**

ἔχουσιν : -**σις**
φθειρούσης : -**ά** Μονάδες 10

## Γ. Αδίδακτο κείμενο
## Ξενοφῶντος Ἑλληνικά Α΄ (γ΄) 8 - 10

Ἐκ τούτου δὲ Ἀλκιβιάδης μὲν ᾤχετο εἰς τὸν Ἑλλήσποντον καὶ εἰς Χερρόνησον χρήματα πράξων· οἱ δὲ λοιποὶ στρατηγοὶ συνεχώρησαν πρὸς Φαρνάβαζον ὑπὲρ Καλχηδόνος εἴκοσι τάλαντα δοῦναι Ἀθηναίοις Φαρνάβαζον καὶ ὡς βασιλέα πρέσβεις Ἀθηναίων ἀναγαγεῖν, καὶ ὅρκους ἔδοσαν καὶ ἔλαβον παρὰ Φαρναβάζου ὑποτελεῖν τὸν φόρον Καλχηδονίους Ἀθηναίοις ὅσονπερ εἰώθεσαν καὶ τὰ ὀφειλόμενα χρήματα ἀποδοῦναι, Ἀθηναίους δὲ μὴ πολεμεῖν Καλχηδονίοις, ἕως ἂν οἱ παρὰ βασιλέως πρέσβεις ἔλθωσιν. Ἀλκιβιάδης δὲ τοῖς ὅρκοις οὐκ ἐτύγχανε παρών, ἀλλὰ περὶ Σηλυμβρίαν ἦν.

**Γ1.** Να μεταφράσετε στο τετράδιό σας το κείμενο. Μονάδες 20

**Γ2.α)** ***συνεχώρησαν, ἀποδοῦναι:*** Να κλίνετε την προστακτική των ρηματικών αυτών τύπων στο χρόνο και τη φωνή που βρίσκονται. Μονάδες 5

**Γ2.β)** ***ἔλαβον:*** Να κλίνετε στον ενικό αριθμό το αρσενικό γένος της μετοχής του ενεργητικού παρακειμένου. Μονάδες 5

**Γ3. α)**Να χαρακτηρίσετε συντακτικώς τις μετοχές:
***πράξων, παρών.*** Μονάδες 5

**Γ3.β)** Να γράψετε την υπόθεση και την απόδοση του υποθετικού λόγου που λανθάνει στο κείμενο και και να τον χαρακτηρίσετε. Μονάδες 5